θαυμαστά. [16]ὄψονται ἔθνη καὶ καταισχυνθήσονται ἐκ πάσης τῆς 16
ἰσχύος αὐτῶν, ἐπιθήσουσιν χεῖρας ἐπὶ τὸ στόμα αὐτῶν, τὰ ὦτα
αὐτῶν ἀποκωφωθήσονται. [17]λείξουσιν χοῦν ὡς ὄφεις σύροντες γῆν, 17
συγχυθήσονται ἐν συγκλεισμῷ αὐτῶν· ἐπὶ τῷ κυρίῳ θεῷ ἡμῶν
ἐκστήσονται καὶ φοβηθήσονται ἀπὸ σοῦ. [18]τίς θεὸς ὥσπερ σύ; 18
ἐξαίρων ἀδικίας καὶ ὑπερβαίνων ἀσεβείας τοῖς καταλοίποις τῆς κλη-
ρονομίας αὐτοῦ καὶ οὐ συνέσχεν εἰς μαρτύριον ὀργὴν αὐτοῦ, ὅτι
θελητὴς ἐλέους ἐστίν. [19]αὐτὸς ἐπιστρέψει καὶ οἰκτιρήσει ἡμᾶς, κατα- 19
δύσει τὰς ἀδικίας ἡμῶν καὶ ἀπορριφήσονται εἰς τὰ βάθη τῆς θα-
λάσσης, πάσας τὰς ἁμαρτίας ἡμῶν. [20]δώσεις ἀλήθειαν τῷ Ιακωβ, 20
ἔλεον τῷ Αβρααμ, καθότι ὤμοσας τοῖς πατράσιν ἡμῶν κατὰ τὰς
ἡμέρας τὰς ἔμπροσθεν.

16 εκ] pr. και B† | χειρας] ς > A, pr. τας QW | το > AQ*C* | τα ωτα] pr. και A† || 18 αδικ. AW*L*] ανομιας BQ*C* || 19 αυτος > B*C* | καταδυσει] pr. και AW† | απο(ρ)ριψει AQ || 20 δωσεις *L*] + εις W†, δωσει εις BAQ*C* | ελεος AQ: cf. 18 6 8

Subscr. μ(ε)ιχαιας γ′ BA: cf. inscr.

## ΙΩΗΛ

[1]Λόγος κυρίου, ὃς ἐγενήθη πρὸς Ιωηλ τὸν τοῦ Βαθουηλ. 1
[2]Ἀκούσατε δὴ ταῦτα, οἱ πρεσβύτεροι, καὶ ἐνωτίσασθε, πάντες οἱ 2
κατοικοῦντες τὴν γῆν. εἰ γέγονεν τοιαῦτα ἐν ταῖς ἡμέραις ὑμῶν ἢ
ἐν ταῖς ἡμέραις τῶν πατέρων ὑμῶν; [3]ὑπὲρ αὐτῶν τοῖς τέκνοις 3
ὑμῶν διηγήσασθε, καὶ τὰ τέκνα ὑμῶν τοῖς τέκνοις αὐτῶν, καὶ τὰ
τέκνα αὐτῶν εἰς γενεὰν ἑτέραν. [4]τὰ κατάλοιπα τῆς κάμπης κατ- 4
έφαγεν ἡ ἀκρίς, καὶ τὰ κατάλοιπα τῆς ἀκρίδος κατέφαγεν ὁ βροῦ-
χος, καὶ τὰ κατάλοιπα τοῦ βρούχου κατέφαγεν ἡ ἐρυσίβη. [5]ἐκνή- 5
ψατε, οἱ μεθύοντες, ἐξ οἴνου αὐτῶν καὶ κλαύσατε· θρηνήσατε,
πάντες οἱ πίνοντες οἶνον, εἰς μέθην, ὅτι ἐξῆρται ἐκ στόματος ὑμῶν
εὐφροσύνη καὶ χαρά. [6]ὅτι ἔθνος ἀνέβη ἐπὶ τὴν γῆν μου ἰσχυρὸν 6
καὶ ἀναρίθμητον, οἱ ὀδόντες αὐτοῦ ὀδόντες λέοντος, καὶ αἱ μύλαι
αὐτοῦ σκύμνου· [7]ἔθετο τὴν ἄμπελόν μου εἰς ἀφανισμὸν καὶ τὰς 7
συκᾶς μου εἰς συγκλασμόν· ἐρευνῶν ἐξηρεύνησεν αὐτὴν καὶ ἔρρι-
ψεν, ἐλεύκανεν κλήματα αὐτῆς. [8]θρήνησον πρός με ὑπὲρ νύμφην 8
περιεζωσμένην σάκκον ἐπὶ τὸν ἄνδρα αὐτῆς τὸν παρθενικόν. [9]ἐξ- 9

Ioel: BSA. — de QW*LC* cf. Os.

Inscr. ιωηλ δ′ BSA: cf. Os. inscr.

1 2 δη AQW] > BS*LC* | υμων paenult.] ημ. B*† | υμων ult.] ημ. S* || 5 εξηρται (cf. 9)] θη pro ται BS*† (S† primo -ηχθη, deinde -ηρθη, postremo -ηρται) | στομ.] pr. του A† || 6 αυτου σκυμνου] tr. S*V*C*† || 7 αυτην BS*LC*] > AQW | κλημ. SAQW] pr. τα B*LC* || 8 θρηνησει S[c]*L*†